# Δημόκριτος Αβδηρίτης

262

«Φησί δ' Αθηνόδωρος εν ογδόη Περιπάτων

Ελθόντος Ιπποκράτη προς Δημόκριτον, εκέλευσε κο- Διογ. Λα
μισθήναι γάλα· και ιδών είπεν είναι αιγός πρωτοτόκου και ερτίου
μελαίνης, και εθαύμασε την ακρίβειαν αυτού ο απάνθισ.
Ιπποκράτης. Αλλά και την κόρην την μετά Ιπποκρά- IX 7.42
τους ελθούσαν προς αυτόν τη μεν πρώτη ημέρα, ησπάσατο Ελληνικών
ούτω, Χαίρε, κόρη, τη δ' ετέρα Γύναι· και ην η κόρη κων (Νέα)
της νυκτός διεφθαρμένη». Τόμος Γ'
σελ 270-1

Αποθνήσκοντος δ' αυτού η αδελφή ελυπείτο, ότι εν τη των
Θεσμοφορίων εορτή μέλλοι τεθνήξεσθαι. Ο δε εκέλευσεν
άρτους θερμούς κομίζεσθαι αυτώ καθ' ημέραν· τούτους
ταις ρισί προσφέρων διεκαρτέρησε την εορτήν»

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

καθά γέγραφεν αυτ. IX. 7.43 «Τελευτήσαι δε τον Δημό-
κριτον φησιν Έρμιππος τούτον τον τρόπον. ήδη υπέρ-
γηρων όντα προς το καταστρέφειν είναι. την ουν αδελ-
φήν λυπείσθαι ότι εν τη των Θεσμοφορίων εορτή μέλ-
λοι τεθνήξεσθαι και τη θεώ το καθήκον αυτή (γρ. αυτήν)
ου ποιήσειν· τον δε θαρρείν είπεν και κελεύσαι αυτώ
προσφέρειν άρτους θερμούς οσημέραι. Τούτους δη ταις ρισί
προσφέρων διεκράτησεν αυτόν την εορτήν...»

Στωπουράκης **ΑΒΔΗΡΑ** Δημόκριτος 

Ἱπποκράτους: Ἐπιστολαί
R. Hercher: Ἐπιστολογράφοι Ἑλληνικοί
Παρίσοι 1873
Σ. 291-310

Ἱπποκράτους Ἐπιστολαί.

Ι'. Ἀβδηριτέων ἡ βουλὴ καὶ ὁ δῆμος Ἱπποκράτει χαίρειν.
Κινδυνεύεται τὰ μέγιστα τῇ πόλει νῦν, Ἱππόκρατες, ἀνὴρ τῶν ἡμετέρων, ὃν καὶ τῷ παρόντι χρόνῳ καὶ τῷ μέλλοντι αἰώνιον ἠλπίζετο τῇ πόλει κλέος νῦν, ὦ πάντες θεοί, φθονέουσιν, οὕτως ὑπὸ πολλῆς τῆς κατεχούσης αὐτὸν σοφίης νενόσηκεν, ὥστε φόβος ἐστὶ τεχνέων, ἂν φθαρῇ τὸν λογισμὸν Δημόκριτος, ὄντως δὴ τὴν πόλιν ἡμέων Ἀβδηριτέων καταληφθήσεσθαι. Ἐκλαθόμενος γὰρ ἁπάντων καὶ ἑωυτοῦ πρότερον, ἐγρηγορὼν καὶ νύκτα καὶ ἡμέρην, γελῶν ἕκαστα μικρὰ καὶ μεγάλα καὶ μηδὲν οἰόμενος εἶναι τὸν βίον ὅλον διατελέει. γαμέει τις, ὁ δὲ ἐμπορεύεται, ὁ δὲ δημηγορέει, ἄλλος ἄρχει, πρεσβεύει, χειροτονέεται, ἀποχειροτονέεται, νοσέει, τιτρώσκεται, τέθνηκεν, ὁ δὲ πάντα γελᾷ, τοὺς μὲν κατηφέοντας τε καὶ σκυθρωποὺς, τοὺς δὲ χαίροντας ὁρέων. ζητέει δὲ ὁ ἀνὴρ καὶ περὶ τῶν ἐν Ἅιδου καὶ γράφει ταῦτα, καὶ εἴδωλα φησὶ πλήρεα τὸν ἠέρα εἶναι, καὶ ὀρνίθων φωνὰς ἐπακούει, καὶ πολλάκις νύκτωρ ἐξανιστάμενος μονοχῇ ᾠδὰς ἄδοντι ἔοικε, καὶ ποτε καὶ ἀποδημεῖν φησὶν ἐς τὴν ἀπειρίην καὶ Δημοκρίτους εἶναι [illegible] ὁμοίους ἑωυτῷ ἀνακριθέντας, καὶ συνδιαφθορῶν τῇ γνώμῃ τὸ χρῶμα. ταῦτα φοβούμεθα, Ἱππόκρατες, ταῦτα ταρασσόμεθα. ἀλλὰ σῶζε καὶ ταχὺς ἐλθὼν νουθέτησον τὴν πατρίδα, μηδὲ ἡμέας ἀποβάλῃς [illegible] καὶ γὰρ οὐδὲ ἀπόβλητοί ἐσμεν, καὶ ὧν ἡμῖν μαρτυρίη κεῖται. οὐκ ἂν ἁμάρτοις οὐδὲ δόξης τῆς ἐπ' αὐτῷ περιουσίης τε χρημάτων ἐκ παιδείης (καίτοι τὰ τῆς παιδείης πολλῷ σοι βελτίω τῶν τῆς τύχης), ἀλλά σοι καὶ ταῦτα συχνὰ παρ' ἡμέων καὶ ἄφθονα γενήσεται· τῆς γὰρ Δημοκρίτου ψυχῆς ἀλλ' οὐδ' εἰ χρυσὸς ἡ πόλις ἀντάξια βουλοίατο οὐδ' ὅτι ἂν ἀργυρώσαντα. τοὺς νόμους ἡμῶν δοκέομεν νοσέειν, Ἱππόκρατες, τοὺς νόμους παρακαλέομεν. ἴθι θεραπεύσων, ἀνδρῶν φέριστε, ἄνδρα ἀοίδιμον, οὐκ ἰητρὸς, ἀλλὰ κτίστης ἐὼν ὅλης τῆς Ἰωνίης, περιβάλλων ἡμῖν ἱερώτερον τεῖχος, πόλιν, οὐκ ἄνδρα θεραπεύσεις, βουλὴν δὲ νοσέουσαν καὶ κινδυνεύουσαν ἀποκλεισθῆναι μέλλεις ἀνοιγνύναι, αὐτὸς νομοθέτης, αὐτὸς δικαστής, αὐτὸς ἄρχων, αὐτὸς σωτήρ, καὶ τούτων ἐπιμελητὴς ἀφίξῃ. ταῦτά σε προσδοκέομεν, Ἱππόκρατες, ταῦτα καὶ γένοιο ἐλθών.
μία πολίων οὐκ ἄσημος, μᾶλλον δὲ ἡ Ἑλλὰς ὅλη δεῖταί σε φυλάξαι σῶμα σοφίης. αὐτὴν δὲ δόκει παιδείαν πρεσβεύειν πρός σε τῆς παρανοίης ταύτης ἀπαλλαγῆναι δεομένην. ξυγγενὴς μὲν οὖν, ὡς

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ἔοικε, πᾶσι σοφίη, τοῖσι δὲ δ' ἐγγυτέρω κεχωρηκόσι αὐτέης ὥσπερ ἤδη καὶ μᾶλλον πλέον. εὖ ἴσθι, χάριν γε τοῦ μέλλοντος αἰῶνος, μὴ προσκεῖσθαι Δημόκριτον ἢν ἐκπέσῃ προσφέρουσιν ἀληθείης.

σὺ γὰρ Ἀσκληπιῷ προσπέπλεξαι γένος καὶ τέχνῃ, ὁ δὲ Ἡρακλέος ἐστὶν ἀδελφιδοῦς, ἀφ' οὗ Ἄβδηρος, ὥς που πυνθάνῃ πάντως, τῷ ἐπώνυμος ἡ πόλις.

ὥστε κἀκείνῳ χάρις ἡ Δημοκρίτου γένοιτ' ἂν ἴησις. ὁρέων οὖν, ὦ Ἱππόκρατες, ἐς ἀναισθησίην ἀπορρέοντα καὶ δῆμον καὶ ἄνδρα ἀρίσημον, σπεῦδε πρὸς ἡμέας δεόμεθα, φεῦ ὡς καὶ τὰ ἀγαθὰ περισσεύοντα νόσοι τυγχάνουσι. ὁ Δημόκριτος γὰρ ὅσον ἐρρώσθη πρὸς ἄκρα σοφίης, ἴσα κινδυνεύει νῦν ἀποπληξίῃ διανοίης καὶ εὐηθειότητι κεκακῶσθαι, οἱ δ' ἄλλοι, ὅσοι πολλοὶ Ἀβδηριτέων, κατὰ κοινὴν ἀπαιδευσίην τόν γε κοινὸν καλέουσι νόον, ἀλλὰ νῦν γε φρονιμώτεροι νοσέοντος σοφοῦ κρίνωνται οἱ πρὶν ἄφρονες.

ἧκε οὖν μετὰ Ἀσκληπιοῦ πατρός, ἧκε μετὰ Ἡρακλέος θυγατρὸς Ἠπιόνης, ἧκε μετὰ παίδων τῶν ἐπὶ Ἴλιον στρατευσαμένων, ἧκε καὶ παιώνια νόσων φέρων ἄκεα.

ἐκ γῆς ἀρκτέουσι δὲ γῆ ῥίζας καὶ βοτάνας ἀλεξιφάρμακα μανίης ἄνθεα. σχεδὸν οὖν οὐδέποτε γονιμώτερον εὐφορήσει καὶ γῆ ἔτι ὀρέων ἀκρώρειαι ἢ νῦν Δημοκρίτου τὰ πρὸς ὑγιείην. ἔρρωσο.

ΙΑ'. Ἱπποκράτης Ἀβδηριτέων τῇ βουλῇ καὶ τῷ δήμῳ χαίρειν.

Ὁ πολίτης ὑμέων Ἀμελησαγόρης ἦλθεν ἐς Κῶ, καὶ ἐτύγχανε τότε ἐοῦσα ἡ ἀνάληψις τῆς ῥάβδου ἐν ἐκείνῃ τῇ ἡμέρῃ καὶ ἐτήσιος ἑορτή, ὡς ἴστε, πανήγυρις ἡμῖν καὶ πομπὴ πολυτελὴς ἐς κυπάρισσον, ἣν ἔθος ἄγειν ~~καὶ~~ τοῖσι τῷ θεῷ προσήκουσι. ἐπειδὴ δὲ σπουδάζειν ἐῴκει, ἔκ τε τῶν λόγων καὶ ἐκ τῆς προσόψιος ὁ Ἀμελησαγόρης, πεισθεὶς ὅτι περ ἂν ἐπείγει τὸ πρῆγμα, ἀνέγνων τε ὑμέων τὴν ἐπιστολὴν καὶ ἐθαύμασα ὅτι περὶ ἑνὸς ἀνθρώπου ὡς εἷς ἄνθρωπος ἡ πόλις θορυβεῖσθε.

μακάριοί γε δῆμοι ὁκόσοι ἴσασι τοὺς ἀγαθοὺς ἄνδρας ἔρυμα ἑωυτῶν, καὶ οὐ τοὺς πύργους οὐδὲ τὰ τείχεα, ἀλλὰ σοφῶν ἀνδρῶν σοφὰς γνώμας.

ἐγὼ δὲ πείθομαι τέχνας μὲν εἶναι θεῶν χάριτας, ἀνθρώπους δὲ ἔργα φύσιος. μὴ νεμεσήσητε, ἄνδρες Ἀβδηρῖται, εἰ οὐχ ὑμέας δοκέω ἀλλὰ τὴν φύσιν αὐτὴν καλέειν με ἀνασῶσαι ποίημα ἑωυτῆς, κινδυνεῦον ὑπὸ νούσου διαπεσεῖν.

ὥστε πρὸ ὑμέων ἐγὼ φύσει καὶ θεοῖσιν ὑπακούων σπεύδω νοσέοντα Δημόκριτον ἰήσασθαι, εἴπερ δὴ καὶ τοῦτο νοῦσός ἐστι, ἀλλὰ μὴ ἀπάτη συνοικάζετε, ὅπερ εὔχομαι. καὶ γένοιτο ἂν πλέον τῆς ἐν ὑμῖν εὐνοίης τεκμήριον τὸ πρὸς ὑπόνοιαν ταραχθῆναι.

ἀργύριον δέ μοι ἐρχομένῳ οὔτε ἀναφύσις ἐτεθὸς ὑπόσχοιτο, ὥστε καὶ ὑμεῖς, ἄνδρες Ἀβδηρῖται, βιάζεσθε, ἀλλ' ἐᾶτε ἐλευθέρης τέχνης ἐλεύθερα τὰ ἔργα. οἱ δὲ μισθαρνέοντες δουλεύειν ἀναγκάζουσι τὰς ἐπιστήμας, ὥσπερ ἐξανδρα-

(ἀκολουθεῖ)

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ποδίζοντες αὐτὰς ἐκ τῆς προτέρης παρρησίης. εἴθ' ὡς εἰκὸς καὶ γνώσαιτο ἂν ὡς περὶ μεγάλης νούσου, καὶ ἀρνηθείη ἂν ὡς περὶ σμικρῆς, καὶ δοίη ἂν ἐλθοῦσιν ὑποσχόμενοι, ἢ πάλιν ἔλθοιεν μὴ κληθέντες. ὁ ἰητρὸς γε ὁ τῶν ἀνθρώπων βίος, ὅτι δι' ὅλου αὐτοῦ ὡς πνεῦμα χειμέριον ἡ ἀφόρητος φιλαργυρίη διαδύνει, ἐφ' ἣν εἴθε μᾶλλον ἅπαντες ἰητροὶ ξυνῆκαν ἀποθεραπεῦσαι ~~χαλεπωτάτην~~ χαλεπωτέρην μανίης νοῦσον, ὅτι καὶ μακαρίζεται νοῦσος ἐοῦσα καὶ κακοῦσα.

οἶμαι δὲ ἔγωγε καὶ τὰ τῆς ψυχῆς νοσήματα πάντα μανίας εἶναι σφοδρὰς ἐμποιοῦντα δόξας τινὰς ἢ φαντασίας τῷ λογισμῷ, ὧν ὁ δι' ἀρετῆς ἀποκαθαρθεὶς ὑγιάζεται.

ἐγὼ δὲ εἰ πλουτεῖν ἐξ ἅπαντος ἐβουλόμην, ὦ ἄνδρες Ἀβδηρῖται, οὐκ ἂν εἵνεκεν δέκα ταλάντων διέβαινον πρὸς ὑμέας, ἀλλ' ἐπὶ τὸν μέγαν ἐρχόμενος Περσέων βασιλέα, ἔνθα πόλιες ὅλαι προσῆκαν τῆς ἐξ ἀνθρώπων εὐτυχίης κεχρημισμέναι, ἰώμην ἂν τὸν ἐκεῖ λοιμὸν ἀνιών.

ἀλλ' ἀπηρνησάμην ἐχθρῶν Ἑλλάδι χώρην ἐλευθερῶσαι κακῆς νούσου. κἀγὼ τὸ μὲν ἐπ' ἐμοὶ καταναυμαχῶ τοὺς βαρβάρους, εἶχον δ' ἂν αἰσχύνην τῶν βασιλέος πλοῦτον καὶ πατρίδος ἐχθρῶν περιουσίην, περικείμην δ' ἂν αὐτά, ὡς ἑλέπολις τῆς Ἑλλάδος ὑπάρχων.

οὐκ ἔστι πλοῦτος τὸ πανταχόθεν χρηματίζεσθαι· μεγάλα γὰρ ἱερὰ τῆς ἀρετῆς ἐπὶ δημαγωγίην, οὐκ ὀργανόμενα ἀλλ' ἐμφανέα ἆθλα. ἢ οὐκ οἴεσθε ἴσον ἁμάρτημα εἶναι οἷόν περ πολεμίους ἢ ~~ἰᾶσθαι~~ φίλους ἰᾶσθαι μισθοῦ;

ἀλλ' οὐχ ὧδε ἔχει τὰ ἡμέτερα, ὁ δ' ἐμὸς οὐ καρποῦμαι νούσους, οὐδὲ δι' ὠχῆς ἤκουσα τὴν Δημοκρίτου παραφροσύνην, ὃς εἴτε ὑγιαίνει, φίλος ἔσται, εἴτε νοσέει, θεραπευθεὶς φίλος πλέον ὑπάρξει.

πυνθάνομαι δὲ δ' αὐτὸν ἐμβριθέα καὶ γέρον τὰ ἤθεα καὶ τῆς ὑμετέρης πόλιος ἐόντα κόσμον. ἔρρωσθε.

---

ΙΒ'. Ἱπποκράτης Φιλοποίμενι χαίρειν.

Οἱ τὴν τῆς πόλιος ἐπιστολὴν ἀποδόντες μοι πρέσβεις ἢ τὴν ἀπέδοσαν, ἤσθην δὲ κάρτα ξενίην τε ὑπισχνεομένου σέο καὶ τὴν ἑτέρην δίαιταν. ἔλθοιμεν δὲ αἰσίῃ τύχῃ καὶ ἀφιξόμεθα ὡς ὑπολαμβάνομεν χερείρησι ἐλπίσι, ἐξ ὧν ἐν τῇ γραφῇ παραδεδήλωται οὐ μανίην ἀλλὰ ψυχῆς τινὰ ῥῶσιν ὑπερβάλλουσαν διασαφέοντος τἀνδρός, μήτε παίδων μήτε γυναικὸς μήτε συγγενέων μήτε οὐσίης μήτε τινὸς ὅλως ἐν φροντίδι ἐόντος, ἡμέρην δὲ ἢ εὐφρόνην πρὸς ἑωυτῷ κατιζῶντος ἢ ἰδιάζοντος πάμπολλα ἐν ἄντροισιν ἐρημίῃσιν ἢ ὑπὸ σκέπῃσι δενδρέων καὶ ἐν μαλθακῇσι ποίῃσι (herbis) ἢ παρ' ἡσύχοισι ὑδάτων ῥεέθροισι.

ξυμβαίνει μὲν οὖν τὰ πολλὰ τοῖς μελαγχολῶσι τοιαῦτα· σιγηλοί τε γὰρ ἐνίοτε ἢ μονήρεες ἢ φιλέρημοι τυγχάνουσι, ἀπανθρωπέονταί τε ξυμψυχον

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ὅτι ἀλλοφρονέειν νομίζοντες. οὐκ ἀπεικὸς δὲ καὶ τοῖσι περὶ παιδείην ἐσπουδακόσι τὰς ἄλλας φροντίδας ὑπὸ μιῆς τῆς ἐν σοφίῃ διατάσιος σεσοβῆσθαι. ὥσπερ γὰρ δμῶες καὶ δμωΐδες ἐν τοῖσι οἴκοισι θορυβέοντες καὶ γανιάζοντες, ὁπόταν ἐξαπιναίως αὐτοῖσι δέσποινα ἐπιστῇ, πτοηθέντες ἐφησυχάζουσι, παραπλησίως καὶ λοιπαὶ αἱ κατὰ ψυχὴν ἐπιθυμίαι ἀνθρώποισι κακῶν ὑπηρέτιδες. ἐπὴν δὲ σοφίης ὄψις ἑωυτὴν ἐπιφήνῃ, ὡς δοῦλα τὰ λοιπὰ πάθεα ἐκκεχώρηκεν.

ποθέουσι δὲ ἄντρα καὶ ἡσυχίην οὐ πάντως οἱ μαινόμενοι, ἀλλὰ καὶ οἱ τῶν ἀνθρωπίνων πρηγμάτων ὑπερφρονήσαντες ἀταραξίης ἐπιθυμίῃ.

ὁκόταν γὰρ ὁ νόος ὑπὸ τῶν ἔξω φροντίδων κοπτόμενος ἀναπαύσασθαι θελήσῃ τὸ σῶμα, τότε ταχέως ἐς ἡσυχίην μετήλλαξε, εἶτα ἀναβὰς ~~ὄρθιος~~ ὄρθριος ἐν ἑωυτῷ περισκοπεῖν μούνῳ χωρίον ἀληθείης, ἔνθα οὐ γυνή, οὐ τέκνα, οὐ κασίγνητοι, οὐ ξυγγενέες, οὐ δμῶες, οὐδ᾽ ὅλως οὐδὲ ἓν τῶν θόρυβον ἐμποιεόντων, πάντα δ᾽ ἀποκεκλεισμένα τὰ ταράσσοντα ἐρημίης ὑπὸ φόβου, οὐδὲ πλησιάσαι τολμῶντα ὑπὸ εὐλαβείης τῶν αὐτόθι οἰκεόντων· οἰκέουσι δὲ τὸ χωρίον ἐκεῖνο Μοῦσαι καὶ Ἀρεταὶ καὶ θεοὶ καὶ δαίμονες καὶ βουλαὶ καὶ γνῶμαι.

καὶ ὁ μέγας πόθος ἐν ἐκκλήσει τοῦ χωρίου τὰς πολυμιγέας ἀγέλας καταλέλειπται, εἰς ὃ τάχα καὶ Δημόκριτος ὑπὸ σοφίης μελαγχολήσας εἶτ᾽ οὐκέτ᾽ ὁρέων τοὺς ἐν τῇ πόλει, διὰ μέγεθος ἐκδεδημηκώς, δοξάζεται μανίης νοῦσον διὰ τὸ φιλέρημον, ὑπώπτευσαν δὲ Ἀβδηρῖται ἀρχὴν ἐλέγχεσθαι ἐν ξυμπᾶσι Δημόκριτον.

ἀλλὰ σύ γε ἡμῖν καταγράφου τῶν βοτανέων, ὦ ἑταῖρε Φιλοποίμην· οὐδὲ γὰρ ἐθέλω τεταραγμένῃ τῇ πόλει παρασχεῖν ὄχλησιν, ἐκ παλαιοῦ ἴδιον ἔχων ξυνδέον σε, ὡς οἶσθα.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ΙΓ΄. Ἱπποκράτης Διονυσίῳ χαίρειν.

Ἢ παραγενοῦ μετὰ Ἁλικαρνησσοῦ ἢ φθάσον αὐτὸς ἐλθεῖν, ὦ ἑταῖρε· κατὰ πᾶσαν γὰρ ἀνάγκην ἀπιτέον ἐς Ἄβδηρά μοι Δημοκρίτου χάριν, ἐφ᾽ ὃν νοσέοντα μετεπέμψατό με ἡ πόλις.

ἀλλ᾽ ἔκτοπος (at mirabilis) γάρ τις ἡ ξυμπάθεια τῶν ἀνθρώπων, Διονύσιε, ὡς μία ψυχὴ ~~συννοσεόντων~~ συννοσεόντων τῷ πολίτῃ· ὥστε μοι δοκέουσι καὶ αὐτοὶ θεραπείης δέεσθαι. ἐγὼ μὲν οἶμαι οὐδὲ νοῦσον αὐτὸ εἶναι, ἀλλ᾽ ἀμετρίην παιδείης, οὐκ οὖσαν δὲ τῷ ὄντι ἀμετρίην, ἀλλὰ νομιζομένην τοῖσιν ἰδιώτῃσιν, ἐπεὶ οὐδέποτε βλαβερὸν τῆς ἀρετῆς τὸ ἄμετρον. δόξα δὲ νόσος γίνεται τότε διὰ τὴν τῶν κρινόντων ἀπαιδευσίην. δοκιμάζει δὲ ἕκαστος ἐξ ὧν αὐτὸς ἐνέχει τὸ ἐν ἄλλῳ πλεονάζον περισσόν. καὶ ἴσως ποιεῖ ὁ δειλὸς ἀμετρίην τὴν ἀνδρείην ὑπερβολήν, καὶ ὁ φιλάργυρος τὴν μεγαλοψυχίην, καὶ πᾶσα ἔλλειψις ὑπερβάλλειν δοκέει τὸ τῆς ἀρετῆς ξύμμετρον.

ἐκεῖνον μὲν οὖν αὐτὸν ἰδόντες μετὰ τῶν ἐνθάδε προχωρέοντος καὶ ἀκου-

(ἀκολουθεῖ)

σαντες τὸν λόγον αὐτοῦ ἄμεινον εἰσόμεθα.
σὺ δὲ ἔπειγε, ὦ Διονύσιε, παραγενέσθαι· βούλομαι γὰρ ἐνδιαιτῆσαί σε τῇ πατρίδι μου μέχρις ἂν ἐπανέλθω, ὅκως τῶν ἡμετέρων φροντίζῃς καὶ πρὸ τῶν ἐμῶν τῆς πόλιος. ἐπεὶ οὐκ οἶδ' ὅκως ἐκ ξυντυχίης ὀχληρὸν τὸ ἔτος ἐστὶ καὶ τὴν ἀρχαίην φύσιν ἔχον· ὥστε πολλὰ παρενοχλέουσι νοῦσοι. πλὴν ὅμως πάρεσο.-----

---

ΙΔʹ. Ἱπποκράτης Δαμαγήτῳ χαίρειν.

Οἶδα παρὰ σοὶ γνώριμος ἐν Ῥόδῳ, Δαμάγητε, τὴν ναῦν ἐοῦσαν (Ἀδίας ἐπιγραφὴ ἦν αὐτῇ), πάγκαλόν τινα καὶ εὔπρυμνον, ἱκανῶς τε κεκοπισμένην, καὶ διάβασιν ἔχουσαν πολλήν. ἐπῄνεις δὲ καὶ τὸ ναυτικὸν αὐτῆς ὡς ὀξὺ καὶ ἀσφαλὲς καὶ εὔτεχνον ὑπουργῆσαι, καὶ τοῦ πλόου τὴν ~~εὐδρομίην~~ εὐδρομίην. ταύτην ἔκπεμψον ἡμῖν, εἰ οἷόν τε, μὴ κώπῃσι ἀλλὰ πτεροῖσι ἐρετμώσας· ἐπείγει γὰρ τὸ πρῆγμα, φιλότης, καὶ ἐς Ἄβδηρα διαπλώσας πάνυ ταχέως βούλομαι νοσεῦσαν δύνασθαι πόλιν διὰ νοσεῦντα ἕνα Δημόκριτον. ἀκούεις που καὶ σὺ τὸ κλέος. τοῦτον ἡ πατρὶς αἰτιᾶται μανίῃ κακοῦσθαι· ἐγὼ δὲ βούλομαι μηδὲν ὡς αὐτοῦ παρακούειν, ἀλλ' ἐκείνοισι δοκέει εἶναι· γελᾷ, φασί, αἰεὶ καὶ οὐδέποτε παύεται γελῶν ἐπὶ παντὶ πρήγματι, καὶ σημεῖον αὐτὸ τοῦτο μανίης δοκέει.----

Ἔνι μέντοι τι, Δαμάγητε, κακὸν παρ' ἕκαστον αὐτοῦ γέλωτος. εἰ γὰρ ἡ ἀκρίβεια φλαῦρον, τὰ διὰ παντὸς φλαυρότερον. καὶ εἴποιμ' ἂν αὐτῷ· «Δημόκριτε, καὶ νοσέοντος καὶ ~~παντὸς~~ κτεινομένου καὶ τεθνεῶτος καὶ πολιορκεομένου καὶ παντὸς ἐμπίπτοντος κακοῦ, ἕκαστον τῶν προσδοκωμένων ὅλως σοὶ γέλωτος ὑποκέεται. ἐθελοκακέεις δὲ, εἰ δύο ἐόντοιν τῶν κόσμων, λύπης καὶ χαρᾶς, σὺ θάτερον ἐκβέβληκας; μακάριος γὰρ ἂν ἦς (ἀλλ' ἀδύνατον), εἰ μήτε μήτηρ σοι νενόσηκε μήτε πατὴρ μήτε τὰ τὰ τυχόντα τέκνα ἢ γυνὴ ἢ φίλος. ἀλλὰ διὰ τὸν σὸν γέλωτα ἵνα σώζηται εὐτυχέως τὰ πάντα. ἀλλὰ νοσεόντων γελᾷς, ἀποθνησκόντων χαίρεις, εἴ τέ τι που πύθοιο κακὸν, εὐφραίνεαι. ὡς πονηρότατος εἶ, ὦ Δημόκριτε, καὶ πόρρω γε σοφίης, εἰ νομίζεις ταῦτα μηδὲ κακὰ εἶναι. μελαγχολᾷς οὖν, ὦ Δημόκριτε, κινδυνεύων καὶ αὐτὸς Ἀβδηρίτης εἶναι, φρονιμωτέρη δὲ ἡ πόλις.»

ἀλλὰ περὶ μὲν δὴ τούτων ἀκριβέστερον ἐκεῖ λέξομεν, Δαμάγητε· ἡ δὲ ναῦς καὶ τὸν χρόνον ὃν ἐπιμέλλω σοι χρονίζει.

---

(ἀκολουθεῖ)

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ΙΕ'. Ἱπποκράτης Φιλοποίμενι χαίρειν.

Σύννους καὶ περιφροντὶς ὑπὲρ Δημοκρίτου, ἐπειδὴ τῇ νυκτὶ κατέδαρθον, πρὸς ἀρχομένην τὴν ἠῶ ὄναρ ἐφαντάσθην, ἐξ οὗ νομίζω πάντα μηδὲν ἐπισφαλὲς γενήσεσθαι.
εὐέλπις δὲ διηγέρθην.
ἐδόκεον γὰρ αὐτὸν τὸν Ἀσκληπιὸν ὁρῆν, φαίνεσθαί τε αὐτὸν πλησίον, ἤδη δὲ πρὸς τῇσι Ἀβδηριτέων πύλῃσι ἐτυγχάνομεν.-----
ὤρεξε δέ μοι τὴν χεῖρα ὁ θεός, κἀγὼ λαβόμενος ἄσμενος ἐλιπάρεον ξυνεφάπτεσθαι καὶ μὴ καθυστερέειν τι μου τῆς θεραπείης· ὁ δὲ «οὐδέν τι» ἔφη «κατὰ τὸ παρεὸν χρηίζεις ἐμέο, ἀλλά σε αὕτη ξεναγήσει ἡ θεὸς κοινή, ἀθανάτων τε καὶ θνητῶν.» ἐγὼ δὲ ἐπιστραφεὶς ὁρέω γυναῖκα καλήν τε καὶ μεγάλην ἀφελέως πεπλοκισμένην, λαμπροείμονα... καὶ ὁ μὲν δαίμων ἐχωρίσθη.
κείνη δὲ ἡ γυνὴ πιέξασά με τοῦ καρποῦ μαλθακῇ τινι εὐτονίῃ διὰ τοῦ ἄστεος ἦγε φιλοφρονεομένη. ὡς δὲ πλησίον τῆς οἰκίης ἦμεν, ἔνθα τὴν ξενίην ἐδόκεον κατεσκευάσθαι, ἀπῄει ὡς φάσμα, τοσόνδε εἰποῦσα «αὔριόν σε παρὰ Δημοκρίτῳ καταλήψομαι.» ἤδη δὲ αὐτῆς μεταστρεφομένης «δέομαι» ἔφην «ὦ ἀρίστη, τίς εἶ, καὶ τίς καλέῃ;» ἡ δὲ «Ἀλήθεια» ἔφη· «αὕτη δὲ ἣν προσιοῦσαν ὁρῇς» (ἑτέρη γὰρ ἐξαίφνης ἐπιοῦσά τις κατεφαίνετο, οὐκ ἀκαλλὴς μὲν οὐδὲ αὐτή, θρασυτέρη δὲ καὶ σεσοβημένη) «Δόξα» ἔφη «καλέεται, κατοικέει δὲ παρὰ τοῖς Ἀβδηρίτῃσιν.»
ἐγὼ δὲ ἀναστὰς ὑπεμνημάτιζον ἐμαυτῷ τοὔναρ, ὡς [illegible] Δημόκριτος, ὅτι γε αὐτὸς ὁ θεραπεύων θεὸς ἀπέστη, οὐκ ἔχων ὕλην θεραπείης· ἀλλὰ ἡ μὲν ἀληθείη τοῦ ὑγιαίνειν παρὰ Δημοκρίτῳ μένει, ἡ δὲ τοῦ νοσέειν αὐτὸν δόξα παρὰ Ἀβδηρίτῃσιν οὕτως κατοικέει.
ταῦτα πιστεύων ἀληθέα εἶναι, Φιλοποίμην ---

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

---

ΙϚ'. Ἱπποκράτης Κρατεύᾳ χαίρειν.

...νῦν ὅτε, εἰ καί ποτε ἄλλοτε, βοτανολόχησον ὁκόσα τε καὶ ὁκοῖα δύνασαι, ἀναγκαίη γὰρ ἐπείγει, καὶ διάπεμψαί μοι αὐτὰ ἐπ' ἄνδρα ὅλῃ πόλει ἰσοστάσιον, Ἀβδηρίτην μέν, ἀλλὰ Δημόκριτον· νοσέειν γὰρ αὐτόν φασι καὶ καθάρσιος μάλα χρηίζειν ἐκτὸς μανίης ἐόντα. μὴ χρησαίμεθα μέντοι σου τοῖσι φαρμάκοισι, ὥσπερ καὶ πέπεισμαι· ἀλλ' ὅμως εὐτρεπίσασθαι χρὴ πανταχόθεν.
- - - - - - - - -
βεβαιότεραι δ' ~~ἀεὶ~~ αἰεὶ αἱ δι' ἐλλεβόρων διὰ τοῦτο καθάρσεις ...
μὴ χρησαίμεθα δὲ ἡμεῖς ἐπὶ Δημοκρίτου μηδενὶ τέλει ...

---

(ἀκολουθεῖ)

ΙΖ'. Ἱπποκράτης Δαμαγήτῳ χαίρειν.

Τοῦτ' ἐκεῖνο, Δαμάγητε, ὅπερ εἰκάζομεν, οὐ παρέκοπτε Δημόκριτος, ἀλλὰ πάντα ὑπερεφρόνεε, καὶ ἡμέας ἐσωφρόνιζε καὶ δι' ἡμέων πάντας ἀνθρώπους.
ἐξέπεμψας δέ μοι, φιλότης, ὡς ἀληθέως Ἀσκληπιάδα νῆα, ᾗ πρόσθεις μετὰ τοῦ ἡλίου ἐπίσημον καὶ Ὑγιείην, ἐπεὶ κατὰ δαίμονα τῷ ὄντι ἱστιοδρόμησε, καὶ ἐκείνῃ τῇ ἡμέρῃ κατέπλευσεν ἐς Ἄβδηρα, ᾗπερ αὐτοῖσιν ἐπρήξαμεν ἀφίξεσθαι.

Πάντας οὖν ἀολλέας πρὸ τῶν πυλέων εὕρομεν, ὡς ἐοικός, ἡμέας περιμένοντας, οὐκ ἄνδρας μοῦνον ἀλλὰ καὶ γυναῖκας, ἔτι δὲ καὶ πρεσβύτας καὶ παιδία, νὴ τοὺς θεοὺς κατηφέα καὶ τὰ νήπια.
Καὶ οὗτοι μὲν ὧδε εἶχον ὡς ἐπὶ μαινομένῳ τῷ Δημοκρίτῳ.

Ὁ δὲ μετ' ἀκριβείης τότε ὑπερεφιλοσόφεε.
Ἐπεὶ δέ με εἶδον, ἔδοξάν που σμικρόν τι ἐφ' ἑωυτῶν γεγονέναι καὶ χρηστὰς ἐλπίδας ἐποιεῦντο,
ὁ δὲ φιλοποίμην ἄγειν ἐπὶ τὴν ξενίην ... ἠρνέετο, κάλλιστον ξυνειδόμενος τοῦτο.

Ἐγὼ δὲ ἔφην· «ὦ Ἀβδηρῖται, οὐδέν ἐστί μοι προὔργου ἢ Δημόκριτον θεήσασθαι».

Οἱ δὲ ἐπήνεον ἀκούσαντες καὶ ἥσθησαν.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ἦγόν τέ με ξυντόνως διὰ τῆς ἀγορῆς, οἱ μὲν ἑπόμενοι, οἱ δὲ προθέοντες ἐτέρωθεν ἕτεροι, «ὦ Ζεῦ βασιλεῦ, λέγοντες, βοήθει θεράπευσον.» Κἀγὼ παρηγόρεον θαρρέειν, ὡς τάχα μὲν οὐδενὸς ἐόντος κακοῦ, πλείονος ἐπισήμου ὥρῃσι, εἰ δ' ἄρα γέ τινος βραχέος, εὐδιορθώτου.
Καὶ ἅμα ταῦτα λέγων ᾖειν, οὐδὲ γὰρ πόρρω ἦν ἡ οἰκίη, μᾶλλον δ' οὐδὲ ἡ πόλις. Παρῆμεν οὖν (πλησίον γὰρ τοῦ τείχεος ἐτύγχανε) καὶ ἀνακομίζουσί με ἡσυχῇ. Ἔπειτα κατόπιν τοῦ πύργου βουνός τις ἦν ὑψηλὸς καὶ λασίῃσιν αἰγείροισιν ἐπίσκιος. Ἔνθεν ἑωρᾶτο τὰ τοῦ Δημοκρίτου καταγώγια. Καὶ αὐτὸς ὁ Δημόκριτος ἐκάθητο ὑπό τινι ἀμφιλαφεῖ καὶ χθαμαλῇ πλατανίστῳ, ἐν ἐξωμίδι παχείῃ, μοῦνος, ἀνήλιφος, ἐπὶ λιθίνου θώκου, ὠχριακὸς πάνυ καὶ λεπτόσαρκος, κομέων τὰ γένεια. Παρ' αὐτὸν δ' ἐπὶ δεξιῆς λεπτόρρυτον ὕδωρ κατὰ πρηνέος τοῦ λόφου ἠρεμαίως ἐκελάρυζε.

Ἦν δέ τι τέμενος ὑπὲρ ἐκεῖνον τὸν λόφον, ὡς ἐξ ὑπονοίης κατεικάζειν, νυμφέων ἱδρυμένον, αὐτοφύτοισιν ἐπηρεφὲς ἀμπέλοισιν.
Ὁ δ' εἶχεν ἐν ὠμοσχίῃ πολλῇ βιβλίον ἐπὶ τοῖσι γούνασι, καὶ ἕτερα δέ τινα ἑκατέρωθεν τοῖσι μηροῖσιν αὐτῷ παρεβέβλητο. Ἐσεσώρευτο δὲ καὶ ζῶα συχνὰ ἀνατετμημένα δι' ὅλων. Ὁ δὲ ὁτὲ μὲν ξυντόνως ἔγραφεν ἐπιμενόμενος, ὁτὲ δὲ ἠρέμεε πάμπολύ τι ἐπέχων καὶ ἐν ἑωυτῷ μερμηρίζων.
Εἶτα μετ' οὐ πολὺ τούτων ἐρδομένων ἐξαναστὰς περιεπάτεε. Καὶ τὰ σπλάγχνα τῶν ζώων ἐπεσκόπεε, καὶ καταθεὶς αὐτὰ μετελθὼν ἐκαθέζετο.

Οἱ δὲ Ἀβδηρῖται περιεστήκεσαν κατηφέες καὶ ὁ πόρρω τὰς ὄψιας δακρύων ἔχοντες φασι «ὁρῇς μέντοι τὸν τοῦ Δημοκρίτου βίον αὐτός, ὦ Ἱππόκρατες, ὡς μέμηνε καὶ οὐκ οἶδε ὅ τι ἐθέλει οὐδὲ ὅτι ὅ τι ἔρδει.

Καί τις αὐτῶν μᾶλλον ἐνδείξασθαι βουλόμενος τὴν μανίην αὐτοῦ, ὀξὺ ἐκώκυσεν ἴκελον γυναικὶ ἐπὶ θανάτῳ τέκνου ὀλοφυρομένῃ. Εἶτα ἀνώμωξε ἄλλος ὑποκρινόμενος παροδίτην ἀπολέσαντά τι ὧν διεκόμιζε. Καὶ ὁ Δημόκριτος ἐπακούων τὰ μὲν ἐμειδία, τὰ δὲ ἐξεγέλα, οὐκέτι οὐδὲν γράφων, τὴν δὲ κεφαλὴν θαμινὰ ἐπισείων.

Ἐγὼ δὲ «ὑμεῖς μὲν» ἔφην «ὦ Ἀβδηρῖται, αὐτόθι μίμνετε, ἐγγυτέρω δὲ αὐτὸς καὶ σώματος καὶ λόγων τἀνδρὸς γενηθείς, ἰδὼν καὶ ἀκούσας εἴσομαι τὸ πάθος τὴν ἀληθείην», καὶ ταῦτα εἰπὼν κατέβαινον ἡσυχῇ.

Ἦν δὲ ὀξὺ καὶ ἐπίφορον ἐκεῖνο τὸ χωρίον, μόλις δ' οὖν διαγενόμενος διῆλθον.

Ἐπεὶ δὲ ἐπλησίασα, ἔτυχε, τότε ἐπελθὸν αὐτῷ ὅ τι δήποτε γράφων ἐνθουσιωδῶς καὶ μεθ' ὁρμῆς. Εἱστήκειν οὖν αὐτόθι περιμένων αὐτὸν τὸν καιρὸν τῆς ἀναπαύσεως, ὁ δὲ μετὰ σμικρὸν λήξας τῆς φορῆς τοῦ γραφείου ἀνέβλεψέ τε ἐς ἐμὲ προσιόντα καὶ φησί «χαῖρε, ξεῖνε.» Κἀγὼ «πολλὰ δὲ καὶ σύ, Δημόκριτε, ἀνδρῶν σοφώτατε», ἤδη αἰδεσθεὶς εἶναι, ὅτι οὐκ ὀνομαστὶ προσεῖπέ με, «σὺ δὲ» ἔφην «τί καλέομεν; ἀγνοίη γὰρ τοῦ σοῦ ὀνόματος ἦν πρόφασις τῆς τοῦ ξείνου προσηγορίης.»

«Ἱπποκράτης» ἔφην «ἔμοιγε ὄνομα, ὁ ἰητρός.»

Ὁ δὲ εἶπε «ἡ τῶν Ἀσκληπιαδέων εὐγενείη πολύ τε σου τὸ κλέος τῆς ἐν ἰητρικῇ σοφίης πεφοίτηκε ὡς ἐμέ. Τί δέ σε χρέος δεῦρ' ἤγαγε, ἑταῖρε; μᾶλλον δὲ πρὸ πάντων κάθισον. Ὁρῇς δὲ τὸν θῶκον οὐκ ἀηδέα φυλλοθημῶνα ὡς χλωρὸς καὶ μαλθακός ἐστι ἐγκαθίσαι, προσηνέστερος τῶν τῆς τύχης ἐπιφθόνων θώκων.» Καθίσαντος δέ μου αὖτις φησί «ἴδιόν τι ἢ ἐπιδήμιον πρῆγμα διζήμενος δεῦρο ἀφῖξαι; φράζε σαφέως· καὶ γὰρ ἡμεῖς ὅ τι δυναίμεθα συνεργοῖμεν ἄν.»

Κἀγὼ «τὸ μὲν καὶ ἀληθείην» ἔφην «αἴτιον εἵνεκεν σοῦ· δεῦρο γὰρ ἥκω σοὶ ξυντυχεῖν ἀνδρὶ σοφῷ· ἔχει δὲ πρόφασιν ἡ πατρίς, ἧς πρεσβείην τελέω.»

Ὁ δὲ «ξεινίῃ τοίνυν» φησί «τὰ πρῶτα κέχρησο ἡμετέρῃ». Πειρώμενος δὲ κατὰ πάντα τἀνδρός, καίπερ ἤδη μοι δήλου μὴ παρακόπτειν,

«Φιλοποίμενα οἶσθα» ἔφην «πολιήτην ἐόντα ὑμέτερον;» ὁ δὲ «καὶ μάλα» ἔφη «τὸν Δάμωνος εἰ λέγεις υἱόν, τὸν οἰκέοντα παρὰ τὴν Ἑρμαΐδα κρήνην.» «Τοῦτον» εἶπον «ᾧ καὶ τυγχάνω ἐκ πατέρων ἰδιόξεινος.»

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

«Ἀλλὰ σύ, Δημόκριτε, τῇ κρείσσονί με ξυνίῃ δέχου ἢ πρόλεγε τί τοῦτο ὃ γρά-
φων τυγχάνεις φράζε.»
Ὁ δὲ ἐπισχὼν ὀλίγον «περὶ μανίης» ἔφη.
Κἀγὼ «ὦ Ζεῦ βασιλεῦ» φημί, «εὐκαίρως γε ἀντιγράφεις πρὸς τὴν πόλιν.»
Ὁ δὲ «ποίην» φησί «πόλιν, Ἱππόκρατες;» ἐγὼ δὲ «οὐδὲν» ἔφην «ὦ Δημό-
κριτε, ἀλλ' οὐκ οἶδ' ὅπως προσεῖπον. ἀλλὰ τί περὶ μανίης γράφεις;» «τί
γὰρ» εἶπε «ἄλλο ἢ τίς εἴη καὶ ὅκως ἀνθρώποισιν ἐγγίνεται, καὶ τίνα
τρόπον ἀπολωφέοιτο; τὰ γὰρ ζῷα ταῦτα» ἔφη «ὁκόσα ὁρῇς, τάδε μέντοιγε ἀνα-
τάμνω εἵνεκεν, οὐ μισέων θεοῦ ἔργα, χολῆς δὲ διζήμενος φύσιν καὶ θέσιν·
οἶσθα γὰρ ἀνθρώπων παρακοπῆς ὡς αἰτίη ἐπὶ τὸ πολὺ αὕτη πλεονάσασα,
(ut plurimum hominum insaniae causa est) ἐπεὶ πᾶσι μὲν φύσει ἐνυπάρχει,
ἀλλὰ παρ' οἷσι μὲν ἐλάσσων, παρ' οἷσι δέ τισι πλείων. ἡ δὲ ἀμετρίη
αὐτῆς νοῦσοι τυγχάνουσι, ὡς ὕλης ὁτὲ μὲν ἀγαθῆς ὁτὲ δὲ φλαύρης ὑπο-
κειμένης.»
Κἀγὼ «νὴ Δί'» ἔφην «ὦ Δημόκριτε, ἀληθέως τε καὶ φρονίμως λέγεις. ὅθεν εὐδαιμονίζω σε
κρίνων ἀπολαύοντα τοιαύτης ἡσυχίης· ἡμῖν δὲ μετέχειν ταύτης οὐκ ἐπιτέτρα-
πται.» ἐρομένου δὲ «διὰ τί, ὦ Ἱππόκρατες, οὐκ ἐπιτέτραπται;» «ὅτι»
ἔφην «ἢ ἀγροὶ ἢ οἰκίη ἢ τέκνα ἢ δάνεια ἢ νοῦσοι ἢ θάνατοι ἢ δμῶες ἢ γάμοι
ἢ τοιαῦτά τινα τὴν σχολὴν ὑποτάμνεται.»
Ἐνταῦθα δὴ ἁνὴρ ἐς τὸ εἰωθὸς πάθος κατηνέχθη, καὶ κάρτα ἀθρόον τι
ἀνεκάγχασε καὶ ἐπετώθασε, καὶ τὸ λοιπὸν ἡσυχίην ἦγε.
Κἀγὼ «τί γελᾷς» ἔφην «ὦ Δημόκριτε; πότερον τἀγαθὰ ὧν εἶπον
ἢ τὰ φλαῦρα;» ὁ δὲ ἔτι μᾶλλον ἐγέλα, καὶ ἄπωθεν ὁρῶντες οἱ Ἀβδηρῖ-
ται, οἱ μὲν τὰς κεφαλὰς ἑωυτῶν ἔπαιον, οἱ δὲ τὰ μέτωπα, οἱ δὲ τὰς
τρίχας ἔτιλλον. καὶ γάρ, ὡς ὕστερον ἔφασαν, πλεονάζοντι παρὰ τὸ
εἰωθὸς ἐχρήσατο τῷ γέλωτι.

Ὑπολαβὼν δ' ἐγὼ ἔφην «ἀλλὰ μήν, σοφῶν ἄριστε Δημόκριτε, ποθέω γὰρ αἰτίην
τοῦ περὶ σὲ πάθεος καταλαβέσθαι, τίνος εἵνεκεν ἄξιος ἐφάνην ἐγὼ
γέλωτος αὐτὸς ἢ τὰ λαληθέντα, ὅκως ἢ μαθὼν παύσωμαι τῆς αἰτίης ἢ
σὺ ἐλεγχθεὶς διακρίνῃς τοὺς ἀκαίρους γέλωτας.»

— — — - - - - -

«Ὁ δὲ μάλα τρηχὺ ἐπιδὼν καὶ «δύο» φησί «τοὐμοῦ γέλωτος αἰτίας δοκεί-
εις, ἀγαθὰ καὶ φλαῦρα. Ἐγὼ δὲ ἕνα γελῶ τὸν ἄνθρωπον, ἀνοίης μὲν
γέμοντα, κενεὸν δὲ πρηγμάτων ὀρθῶν, πάσῃσι ἐπιβουλῇσι νηπιάζον-
τα καὶ μηδεμιῆς εἵνεκεν ὠφελείης ἀνύοντα τοὺς ἀνηνύτους μό-
χθους, πείρατα γῆς καὶ ἀορίστους μυχοὺς ἀμετρίῃσι ἐπιθυμίης ὁδεύοντα,
ἄργυρον τήκοντα καὶ χρυσόν, καὶ μὴ παυόμενον τῆς κτήσιος ταύτης,
αἰεὶ δὲ θορυβεύμενον περὶ τὸ πλέον, ὅκως αὐτοῦ ἐλάσσων γένηται.

« καὶ οὐδὲν αἰσχύνεται δεχόμενος εὐδαίμων, ὅτι χάσματα γῆς ὀρύσσουσι δει-
νοῖσι χερσί, ὧν οἱ μὲν συμπτώσει ἐπιπιπτούσης τῆς γῆς ἐφθάρησαν, οἱ
δὲ πολλῷ χρόνῳ ταύτην ἔχοντες τὴν ἀναγκαίην ὡς ἐν πατρίδι τῇ
κολάσει καταμένουσι, ἄργυρον καὶ χρυσὸν μαστεύοντες, ἴχνεα κόνιος καὶ
ψήγματα ἐρευνῶντες, ψάμμον ἄλλην ἀλλαχόθεν ἀγείροντες καὶ γῆς φλέβας
ἐντάμνοντες, ἐς περιουσίην αὐτὴν βωλοποιεῦντες ἐκ γῆς μητρός, τὴν δὲ
γῆν μίαν καὶ τὴν αὐτὴν ἐοῦσαν καὶ θωυμάζουσι καὶ πατέουσι. ὅσος
γέλως. ἐπιμόχθου καὶ κρυφίης γῆς ἐρῶσι καὶ τὴν φανερὴν ὑβρίζουσι.
κύνας ὠνεῦνται, οἱ δ' ἵππους, οἱ δὲ χώρην πολλὴν περιορίζοντες ἰδίην
ἐπιγράφουσι, καὶ πολλῶν ἐθέλοντες δεσπόζειν οὐδὲ ἑωυτῶν δύνανται. γα-
μέειν σπεύδουσι ἃς μετ' ὀλίγον ἐκβάλλουσι· ἐρῶσιν, εἶτα μισέουσι· μετ'
ἐπιθυμίης τεκνοῦσι, εἶτα ἐκβάλλουσι τελείους. τίς ἡ κενὴ σπουδὴ καὶ
ἀλόγιστος, μηδὲν μανίης διαφέρουσα; πολεμέουσι ἔμφυλα, ἠρεμίην οὐχ
αἱρετίζουσι. ἀντενεδρεύουσι βασιλέας, ἀνδροφονέουσι, γῆν ὀρύσσοντες
ἄργυρον ζητέουσι, ἄργυρον εὑρόντες γῆν ἐθέλουσι πρίασθαι, ὠνησάμενοι
γῆν καρποὺς πιπρήσκουσι, καρποὺς ἀποδόμενοι πάλιν ἀργύριον κατα-
λαμβάνουσι. ἐν ὅσῃσι μεταβολῇσί εἰσι καὶ ὅσῃ κακίῃ πολιτείης. μὴ
ἔχοντες αὐτὴν ποθέουσι, ἔχοντες [illegible] ἢ ἀφανίζουσι. γελῶ ἐφ'
οἷς κακοπραγέουσι, ἐπιτείνω τὸν γέλωτα ἀφ' οἷς δυστυχέουσι.
θεσμοὺς γὰρ ἀληθείης παραβεβήκασι φιλονεικέοντες ἔχθρην πρὸς ἀλλήλους
δῆριν ἔχουσι μετὰ ἀδελφῶν, γονέων καὶ πολιτέων, καὶ ταῦτα ὑπὲρ
τοιούτων κτημάτων ὧν οὐδὲ εἷς θανὼν δεσπότης ἐστί, ἀλληλοκτονέουσι,
ἀθεσμόβια φρονεῦντες φίλων ἢ πατρίδων ἀπορίην ὑπερορέουσι, πλουτίζουσι
τὰ ἀνάξια καὶ τὰ ἄψυχα, ὅλης τῆς οὐσίης ἀνδριάντα ὠνέονται, ὅτι
δοκέει λαλέειν τὸ ἄγαλμα. τοὺς δὲ ἀληθέως λαλέοντας μισέουσι. τῶν
μὴ ἰδίων ἐφίενται. καὶ γὰρ ἤπειρον οἰκεῦντες θάλασσαν ποθέουσι,
καὶ πάλιν ἐν νήσοισι ἐόντες ἠπείρων γλίχονται, ἅπαντα διαστρέφουσι ἐς
ἰδίην ἐπιθυμίην, καὶ δοκέουσι μὲν ἐν πολέμῳ ἀνδρείην ἐπαινέειν,
νικῶνται δὲ καθ' ἡμέρην ὑπὸ τῆς ἀσελγείης, ὑπὸ τῆς φιλαργυρίης, ὑπὸ
τῶν παθέων πάντων ἃ νοσέουσι. Θερσῖται δ' εἰσὶ τῷ βίῳ πάντες. τί δὲ
τὸν ἐμόν, Ἱππόκρατες, ἐμέμφου γέλωτα; οὐ γὰρ αὐτός τις τὴν ἰδίην ἄνοιαν,
ἀλλὰ ἄλλος ἄλλου καταγελᾷ, οἱ μὲν τῶν ~~ἀνθρώπων~~ μεθυόντων, ὅταν
αὐτοὶ δοκέουσι νήφειν, οἱ δὲ τῶν ἐρώντων, χαλεπωτέρην νοῦσον νοσεῦν-
τες αὐτοί, οἱ δὲ τῶν πλεόντων, ἄλλοι δὲ τῶν περὶ γεωργίην ἀσχολη-
θέντων. οὐ ξυμφωνέουσι γὰρ οὔτε τῇσι τέχνῃσι οὔτε τοῖσι ἔργοισι.» ...
....« γῆρας ηὔξαντο, εἶτα ἐς αὐτὸ ἀφικόμενοι στενάζουσι, ἐν οὐδεμιῇ
καταστάσει βεβαίην ἔχοντες τὴν γνώμην. ἡγεμόνες καὶ βασιλέες
μακαρίζουσι τὸν ἰδιώτην, ὁ δὲ ἰδιώτης ὀρέγεται βασιληίης, ὁ πολι-
τευόμενος τὸν χειροτεχνεῦντα ὡς ἀκίνδυνον, ὁ δὲ χειροτέχνης ἐκεῖνον

(ἀκολουθεῖ)

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ὡς εὐτονεῦντα κατὰ πάντων. τὴν γὰρ ὀρθὴν κέλευθον τῆς ἀρετῆς οὐ θηρέουσι καθαρὴν καὶ λείην καὶ ἀπρόσπταιστον, εἰς ἣν οὐδὲ εἷς ἐθέλημεν ἐμβῆναι, φέρονται δὲ ἐπὶ τὴν ἀπειθέα καὶ σκολιήν, τρηχυβατέοντες καὶ καταφερόμενοι καὶ προσκόπτοντες, οἱ δὲ πλεῖστοι ἐμπίπτοντες, ἀσθμαίνοντες ὡς διωκόμενοι, ἐρίζοντες ὑστερέοντες προηγεύμενοι. καὶ οἳ μὲν αὐτῶν ἔρωτες ἀτάσθαλοι ὑποκεκρύφασι ἀλλοτρίης φῶρας εὐνῆς, ἀναιδείης πίσυνοι· οὓς δὲ τήκει φιλαργυρίη, νοῦσος ἀόριστος, οἱ δ' ἀλλήλοισι ἀντεπιτίθενται, οἱ δ' ὑπὸ φιλοδοξίης ἐς ὕψος ἀναχθέντες βριθεῖ κακίης ἐς βυθὸν ἀπωλείης καταφέρονται. κατασκάπτουσι ἐποικοδομέοντες. χαρίζονται, εἶτα μετανοοῦσι καὶ ἀφαιρέονται τὰ φιλίης δίκαια. κακοπραγμονέοντες ἐς ἔχθρην τὰ ξυγγενείης πολεμοποιέουσι, καὶ τούτων ἁπάντων αἰτίη ἡ φιλαργυρίη. τί νηπίων ἀθυρόντων διαφέρουσι, παρ' οἷσι ἄκριτος μὲν ἡ γνώμη, τὸ δὲ προσπεσὸν [illegible]; ἐν δὲ τοῖσι θυμοῖσι τί περισσὸν ζώοισι ἀλόγοισι παραλλάσσουσι, πλὴν ὅτι ἐν αὐταρκείῃ μένουσι οἱ θῆρες. τίς γὰρ λέων ἐς γῆν [illegible] χρυσόν; τίς ταῦρος πλεονεξίῃ [illegible]; τίς πάρδαλις ἀπληστίῃ [illegible]; διψῇ μὲν ἄγριος σῦς ὅσον ὕδατος κορεσθῇ, λύκος δὲ σπαράξας τὸ προσπεσὸν τῆς ἀναγκαίης τροφῆς ἀναπαύεται. ἡμέρῃσι δὲ καὶ νυξὶ ξυναπτομένῃσι οὐκ ἔχει θοίνης κόρον ἄνθρωποι. χρόνου μὲν ἐνιαυσίων τάξις ὀχείης ἀλόγων ἐστὶ τέρμα, ὁ δὲ ἐς τὸ διηνεκὲς οἰστρομανίην ἔχει τῆς ἀσελγείης. Ἱππόκρατες, μὴ γελάσω τὸν κλαίοντα δι' ἔρωτα ὅτι ξυμφορῆς τινος ἀποκέκλεισται, μάλιστα δ' ἂν ῥιψοκινδύνως φέρηται κατὰ κρημνῶν ἢ βυθῶν πελάγιος, ἐπὶ τοῦτῳ τὸν γέλωτα; μὴ γελάσω τὸν τὴν νῆα πολλοῖσι φορτίοισι βαπτίσαντα, εἶτα μέγα μεμφόμενον τῇ θαλάσσῃ ὅτι κατεβύθισε τὴν πλήρεα; ἐγὼ μὲν οὐδ' ἀξίως δοκέω γελᾶν, ἐξευρεῖν δὲ καὶ αὐτῶν ἤθελόν τι λυπηρόν. .... οὐχ ὁρῇς ὅτι ὁ κόσμος μισανθρωπίης πεπλήρωται; ἅπαντα καὶ αὐτοῦ πάθεα ξυνήθροισε; ὅλος ὁ ἄνθρωπος ἐκ γενετῆς νοῦσός ἐστι. τρεφόμενος ἄχρηστος, ἱκέτης βοηθείης· αὐξόμενος ἀτάσθαλος, ἄφρων, διὰ χειρῶν παιδαγωγίη· ἀκμάζων θρασύς, παρακμάζων οἰκτρός, τοὺς ἰδίους πόνους ἀλογιστίῃ γεωργήσας. ἐκ μητρώων γὰρ λύθρων ἐξέθορε τοιοῦτος. ..... ~~τοὺς~~ τὰς ἀναξίους δὲ ἡ δυστυχίας σπεύδοντας τοιαύτας ὁρῶντες καὶ τοιαύτας, πῶς μὴ χλευάσωμεν τὸν τοιόνδε ἀκρασίης γέμοντα βίον αὐτῶν; .....»

Ἐπειδὴ δὲ ἔλεγεν ταῦτα καὶ καί, Δαμάγητε, θεοειδής τις κατεφαίνετο, καὶ τῆς προτέρης αὐτοῦ μορφῆς ἐξελελήσμην

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

καὶ φημί, ὦ Δημόκριτε μεγαλόδοξε, πολλοῦ γάρ με τῆς σῆς σοφίης θωυμασμοῦ πεπλήρωκας, ἀπονοστέω τε σεῦ κῆρυξ ἀληθείης ἀνθρωπίνης φύσιος ἐξιχνευσάντος ἢ νοήσαντος ἢ λαλήσαντος ----»

κἀγὼ ξυντονώτερον ἐπείξας πρὸς τοὺς ὄντως Ἀβδηρίτας ἐπὶ τῇ σκοπιῇ ἀναμένοντάς με «ἄνδρες» ἔφην «τῆς πρὸς ἐμὲ πρεσβείης χάρις ὑμῖν πολλή. Δημόκριτον γὰρ εἶδον, ἄνδρα σοφώτατον, σωφρονίζειν ἀνθρώπους μοῦνον δυνάμενον.»

ταῦτ' ἔχω σοι περὶ Δημοκρίτου, Δαμάγητε, φράζειν γηθόσυνος πάνυ. ἔρρωσο.

ΙΗ. Δημόκριτος Ἱπποκράτει εὐπράττειν.

Ἐπῆλθες ἡμῖν, ὦ Ἱππόκρατες, ὡς μεμηνότι, ἐλλέβορον δώσων, πεισθεὶς ἀνοήτοισι ἀνδράσι, παρ' οἷσι ὁ πόνος τῆς ἀρετῆς μανίη κρίνεται.

ἐτυγχάνομεν δὲ περὶ κόσμου διαθέσιος ἢ πολογραφίης ἔτι τε ἄστρων οὐρανίων ξυγγράφοντες.

γνοὺς δὲ τὴν τούτων φύσιν, ὡς ἀξιεπαίνως κάρτα ἦν δεδημιουργημένα καὶ ὡς τηλοῦ μανίης καὶ παραφροσύνης καθεστᾶσι, ἐμέο μὲν φύσιν ἐπῄνεσαν, ἀπηνέας δὲ ἐμεμφόμην κείνους [illegible]· ὅσσα γὰρ ἰνδάλμασι διαλλάσσοντα ἀνὰ τὸν ἠέρα πλάζει ἡμέας, ἃ δὴ κόσμῳ ξυνορᾶται καὶ ἀ[illegible] τὰ πάντα. ταῦτα νόος ὁμὸς φύσει [illegible] ἀλεγεινῶς ἐς φάος ἤγαγε· μάρτυρες δὲ τούτων βίβλοι ὑπ' ἐμέο γραφεῖσαι.

χρὴ οὖν καὶ σέ, ὦ Ἱππόκρατες, μὴ [illegible] ἀνδράσι ξυνέρχεσθαι καὶ ξυνομιλέειν, ὧν νόος ἀκρόπηλος? ἢ ἀβέβαιος καθέστηκε.

εἰ γὰρ πεισθέντες τούτοισι ὡς μεμηνότα με ἐπότισαν, ἡ πινυτὴ μανίη ἂν ἐγεγόνει ---- ἐλλέβορος γὰρ ὑγιαίνουσι μὲν δοθεὶς ἐπισκοτέει διανοίῃ, μεμηνόσι δὲ δοθεὶς κάρτα ὠφελέει.

γνῶθι γὰρ ὡς οὐ μὴ καταλελαβήκεις με γράφοντα, ἀλλ' ἀναπαυόμενον ἢ σχέδην περιπατέοντα ἢ προσομιλέοντα ἐμεωυτῷ ἢ ὅτε μὲν δυσχεραίνοντα ὅτε δὲ μειδιῶντα ἐπὶ τοῖς ἐννοουμένοισι ὑπ' ἐμέο, ἢ τοῖσι μὲν προσομιλέοντα τῶν γνωρίμων ὃ προσέχοντα, ἐφορμῶντα δὲ τὴν διανοίην [illegible] ἐκπάγλως, ὥσθ' ἂν Δημόκριτον καταγέλαστον κρίσιν ἐκ τῶν ὁρεομένων μανίης εἶναι ἐοικέναι. ---

ἀπέπεμψα δέ σοι τὸν περὶ μανίης λόγον.

ΙΘ΄ Δημόκριτος Ἱπποκράτει περὶ μανίης.

- - - - - - -

(ἀκολουθεῖ)

Κ'. Ἱπποκράτης Δημοκρίτῳ χαίρειν

— — — — -

ὡς δ' ἐντυχὼν ᾔδειν νὴ Δία παραφροσύνης ἔργον ἀλλὰ σχεδὸν ἀποδοχῆς πάσης, πάντα τὴν φύσιν ἐπῄνεσα, ἀριζήλου τε ἑρμηνείας φύσιος καὶ κόσμου ἤρεικα, ταῦτα δὲ ἐναγαγόντας με ἐγκεκλήκαμεν ὡς μεμηνότας· φαρμακείης γὰρ αὐτοὶ ἐχρήιζον.

ἐπειδὴ τοίνυν ταὐτόματον ἡμέας ἐς τωὐτὸ ξυνήγαγε, ὀρθῶς ποιήσεις ἐπιστέλλων ἡμῖν πυκνότερον καὶ μεταδιδοὺς τῶν ὑπὸ σοῦ γραφομένων ξυνταγμάτων· ἀπέπεμψα δέ σοι καὶ αὐτὸς τὸν περὶ ἐλλεβορισμοῦ λόγον. ἔρρωσο.

---

ΚΑ'. Ἱπποκράτης Δημοκρίτῳ περὶ ἐλλεβορισμοῦ.

— — — — — -

---

ΚΒ'. — — — - -

ΚΓ'. Δημόκριτος Ἱπποκράτει περὶ φύσιος ἀνθρώπου.

— — — — - - -

---

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ